πάντες ὅτι τὸ Καννωνοῦ ψήφισμά ἐστιν ἰσχυρότατον, ὃ
κελεύει, ἐάν τις τὸν τῶν Ἀθηναίων δῆμον ἀδικῇ, δεδεμένον
ἀποδικεῖν ἐν τῷ δήμῳ, καὶ ἐὰν καταγνωσθῇ ἀδικεῖν, ἀπο-
θανεῖν εἰς τὸ βάραθρον ἐμβληθέντα, τὰ δὲ χρήματα αὐτοῦ
δημευθῆναι καὶ τῆς θεοῦ τὸ ἐπιδέκατον εἶναι. κατὰ τοῦτο τὸ 21
ψήφισμα κελεύω κρίνεσθαι τοὺς στρατηγοὺς καὶ νὴ Δία, ἂν
ὑμῖν γε δοκῇ, πρῶτον Περικλέα τὸν ἐμοὶ προσήκοντα· αἰσχρὸν
⟨γάρ⟩ μοί ἐστιν ἐκεῖνον περὶ πλείονος ποιεῖσθαι ἢ τὴν ὅλην
πόλιν. τοῦτο δ' εἰ βούλεσθε, κατὰ τόνδε τὸν νόμον κρίνατε, 22
ὅς ἐστιν ἐπὶ τοῖς ἱεροσύλοις καὶ προδόταις, ἐάν τις ἢ τὴν
πόλιν προδιδῷ ἢ τὰ ἱερὰ κλέπτῃ, κριθέντα ἐν δικαστηρίῳ,
ἂν καταγνωσθῇ, μὴ ταφῆναι ἐν τῇ Ἀττικῇ, τὰ δὲ χρήματα
αὐτοῦ δημόσια εἶναι. τούτων ὁποτέρῳ βούλεσθε, ὦ ἄνδρες 23
Ἀθηναῖοι, τῷ νόμῳ κρινέσθων οἱ ἄνδρες κατὰ ἕνα ἕκαστον
διῃρημένων τῆς ἡμέρας τριῶν μερῶν, ἑνὸς μὲν ἐν ᾧ συλλέ-
γεσθαι ὑμᾶς δεῖ καὶ διαψηφίζεσθαι [ἐάν τε ἀδικεῖν δοκῶσιν
ἐάν τε μή], ἑτέρου δ' ἐν ᾧ κατηγορῆσαι, ἑτέρου δ' ἐν ᾧ
ἀπολογήσασθαι. τούτων δὲ γιγνομένων οἱ μὲν ἀδικοῦντες 24
τεύξονται τῆς μεγίστης τιμωρίας, οἱ δ' ἀναίτιοι ἐλευθερωθή-
σονται ὑφ' ὑμῶν, ὦ Ἀθηναῖοι, καὶ οὐκ †ἀδικοῦντες ἀπο-
λοῦνται. ὑμεῖς δὲ κατὰ τὸν νόμον εὐσεβοῦντες καὶ εὐορ- 25
κοῦντες κρινεῖτε καὶ οὐ συμπολεμήσετε Λακεδαιμονίοις τοὺς
ἐκείνους ἑβδομήκοντα ναῦς ἀφελομένους καὶ νενικηκότας,
τούτους ἀπολλύντες ἀκρίτους παρὰ τὸν νόμον. τί δὲ καὶ 26
δεδιότες σφόδρα οὕτως ἐπείγεσθε; ἢ μὴ οὐχ ὑμεῖς ὃν ἂν
βούλησθε ἀποκτείνητε καὶ ἐλευθερώσητε, ἂν κατὰ τὸν νόμον
κρίνητε, ἀλλ' οὐκ ἂν παρὰ τὸν νόμον, ὥσπερ Καλλίξενος
τὴν βουλὴν ἔπεισεν εἰς τὸν δῆμον εἰσενεγκεῖν μιᾷ ψήφῳ;

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415836522/39 UNIVERSITÄT LEIPZIG